μῦθον. ὅτι ἑλκόμενος ὑπὸ Ηρακλέους κατέλιπεν ἐπὶ τὴν πέτραν τὴν πυγὴν. νῦν δὲ οἰκείως εἶπεν ἐπὶ τῶν ἐρεσσόντων διὰ τὴν καθέδραν λεπτοπύγων ὄντων, ἄλλως. ἐστενωμένοις. τοιαῦται δὲ αἱ πυγαὶ τῶν ναυτῶν διὰ τὴν συνεχῆ ἕδραν καὶ εἰρεσίαν. Εν καταλόγῳ.] ἐν τῷ καταλόγῳ. ἐν τοῖς πίναξιν, ἐφ᾽ ὧν ἐνέγραφον τῶν στρατευομένων τὰ ὀνόματα. ἐκαλοῦντο γὰρ κατάλογοι. κατὰ σπουδὰς δὲ καὶ ἄλλου σπουδήν. Τὸν πόρπακα.] δειλὸς γὰρ καὶ ῥίψασπις ὁ Κλεώνυμος οὗ καὶ ἐν Νεφέλαις μέμνηται. Οὐδ᾽ ἀγοράσει.] οὐ νῦν ἐν ἀγορᾷ διατρίψει. Κλεισθένης καὶ Στράτων.] γυνώδεις οὗτοι καὶ τιτλούμενοι τὰ γένεια, λεῖοι δὲ καὶ μαλακοί. Τὰ ᾽ν τῷ μύρῳ.] οὕτως Ἀττικῶς ἀντὶ τοῦ ἐν μυροπωλείῳ, ἀπὸ τῶν πωλουμένων τοὺς τόπους καλοῦντες. Φαίαξ.] δεινὸς ῥήτωρ ὁ Φαίαξ ἐστίν, ὡς καὶ ἀποφυγεῖν ἐπὶ θανάτῳ ἐπ᾽ αὐτοφώρῳ κρινόμενος. κωμῳδεῖται

δὲ ὡς παρακρούων τὰ μειράκια καὶ ἐξαπατῶν. Συστρεπτικός.] συνείρειν τοὺς λόγους καὶ συντιθέναι δυνάμενος εὐκόλως. περαντικὸς δὲ, πέρας ἐπιτιθεὶς τοῖς λόγοις. Κρουστικός.] τὰ ὦτα τῶν ἀκροωμένων κρούων τῇ σφοδρότητι τῶν λόγων. Καταληπτικός.] προκαταλαμβανόμενος τοὺς ἀκούοντας ὥστε θόρυβον μὴ κινῆσαι. Καταδακτυλικός.] ἀντὶ τοῦ συνεστατικὸς κατὰ τοῦ δακτυλίου τοῦ πρωκτοῦ. τοῦ λαλητικοῦ δὲ, τῶν λαλούντων ταῦτα, τῶν περὶ Κλεισθένη καὶ Στράτωνα. ἄδηλος δὲ ὁ στίχος, καὶ πάντες αὐτὸν ἐσημειώσαντο, διὰ τὸ ἀκατάλληλον. ἄδηλον γὰρ τίς τίνι λέγει. Οκλαδίαν.] ὀκλαδίας συγκεκλασμένος δίφρος καὶ ποτὲ μὲν ἐντεινόμενος ποτὲ δὲ συστελλόμενος. Κα᾽ παῖδ᾽ ἐνόρχην.] ἐπεὶ παρὰ τοῖς βαρβάροις σπάδωνες, ἐστὶν ἐνόρχην δίδωσι. Τοῦτον.] τὸν παῖδα. παίζει δὲ περαίνειν καὶ κύφειν ποίει πανεμφάτως.

Αλλ. Φήσεις γ᾽ ἐπειδὰν τὰς τριακοντούτιδας
Σπονδὰς παραδῶ σοι. δεῦρ᾽ ἴθ᾽ αἱ σπονδαὶ ταχύ.
Δη. Ω Ζεῦ πολυτίμηθ᾽ ὡς καλαί. πρὸς τῶν θεῶν
Εξεστιν αὐτῶν κατατριακοντουτίσαι;
Πῶς ἔλαβε ταύτας ἐτεόν. Αλλ. οὐ γὰρ ὁ Παφλαγὼν
Απέκρυπτε ταύτας ἔνδον ἵνα μή σὺ λάβῃς.
Νῦν οὖν ἐγώ σοι παραδίδωμ᾽ εἰς τοὺς ἀγροὺς
Αὐτὰς ἰέναι λαβόντα. Δη. τὸν δὲ Παφλαγόνα,
Ος ταῦτ᾽ ἔδρασεν εἴφ᾽ ὅ, τι ποιήσεις κακόν;
Αλλ. Οὐδὲν μέγ᾽ ἀλλ᾽ ἢ τὴν ἐμὴν ἕξει τέχνην.
Επὶ ταῖς πύλαις ἀλλαντοπωλήσει μόνος,
Τὰ κύνεια μιγνὺς τοῖς ὀνείοις πράγμασιν.
Μεθύων τε ταῖς πόρναισι λοιδορήσεται.
Κἀκ τῶν βαλανείων αὖ τὸ λοῦτρον πίεται.
Δη. Εὖ γ᾽ ἐπενόησας οὗπερ ἐστὶν ἄξιος
Πόρναισι καὶ βαλανεῦσι διακεκραγέναι.
Κἀγώ σ᾽ ἀντὶ τούτων, εἰς τὸ Πρυτανεῖον καλῶ.
Ες τὴν ἕδραν θ᾽ ἵν᾽ ἐκεῖνος ἦν ὁ φαρμακός.
Επου δὲ ταυτηνὶ λαβὼν τὴν βατραχίδα.
Κἀκεῖνον ἐκφερέτω τις ὡς ἐπὶ τὴν τέχνην.
Ιν᾽ ἴδωσιν αὐτὸν οἷς ἐλωβᾶθ᾽, οἱ ξένοι.

*AG. Hoc tum dices, vbi ego fœdus tibi dedero*
*Triginta annorum. Adeste huc illicò fœdera.*
*PO. Proh Iuppiter, quàm sunt formosa! per Deos*
*Oro, liceat cum ipsis habere rem mihi.*
*Amabo, quomodònam abstulit hæc fœdera?*
*AG. Annón ea occultârat intus Paphlago,*
*Ne tu posses adipisci? at nunc ego do tibi,*
*Vt hinc rus tecum abducas. PO. sed quid Paphlagoni,*
*Hæc qui perpetrauit mala, inferes mali?*
*AG. Nihil aliud maius, nisi vt artem exerceat*
*Meam, & ad portas solus vendat farcimina:*
*Canina miscens asininis negociis,*
*Et ebrius scortis dicat conuitia:*
*Tum è balneis lauacrum perpetim bibat.*
*PO. Euge reperisti supplicium, quo dignus est,*
*Vt à scortis & balneatorum grege*
*Explodatur: ego pro his te in Prytanæum voco:*
*Vt eam sedem occupes, quam prior ille tenuit*
*Veneficus. sequere hàc, & vestem hanc indue:*
*Illum producat huc quispiam ad artem suam,*
*Vt eum hospites videant, quibus damnum dedit.*

Σχόλια. Τριακοντούτιδας.] πόρνας εἰσφέρει, διὸ καὶ φησίν. ἔξεστιν αὐτῶν κατατριακοντουτίσαι, τουτέστιν εἰς συνουσίαν λαβεῖν. Σπονδάς.] σπονδὰς ἐσπείσαντο μετὰ Εὐβοίας ἅλωσιν οἱ Ελληνες πρὸς ἑαυτοὺς πρὸ τοῦ Πελοποννησιακοῦ πολέμου. Ως καλαί.] εἰσῆλθον αἱ ἑταῖραι ὡραῖαι τὰς ὄψεις, ὑποκρινόμεναι τὰ πρόσωπα τῶν σπονδῶν πρὸς ἃς λέγει ὁ δῆμος. Οὐ γὰρ ὁ Παφλαγών.] μετὰ τὴν Κλέωνος καὶ Βρασίδου τελευτὴν, σπονδαὶ τοῖς Πελοποννησίοις καὶ Αθηναίοις ἐγένοντο τριακοντούτιδες. οὗτοι γὰρ ἠναντιοῦντο τῇ εἰρήνῃ. ἀποθανόντων δὲ αὐτῶν ἐγένοντο αἱ σπονδαί. Τὰ κύνεια μιγνύς.] συμφύρων τὰ τῆς πόλεως πράγματα. ὅτι καὶ οἱ μάγειροι τὰ κρέα μιγνύουσιν. ἔθος γὰρ αὐτοῖς μιγνύειν κρέα προβάτων τε καὶ αἰγῶν, καὶ πωλεῖν ἐνίοτε ὡς μόνων προβάτων, καὶ ἐξαπατᾶν τοὺς ἀφελεστέρους.

Bisetvs. Τοῖς ὀνείοις πράγμασιν.] ἀντὶ τοῦ τοῖς τῶν ὄνων κρέασιν.

Σχόλια. τὸ λοῦτρον] τὸ ἀπόλουμα καὶ ῥυπαρόν. ὅ ἐστι, τὸ ἀπόλουτρον. ἐς τὴν ἕδραν δὲ εἰς τὴν προεδρείαν. Τὴν βατραχίδα] εἶδος ἐσθῆτος ἀνθινῆς, ὅμοιον τῷ ὀνόματι ἐχούσης τὸ χρῶμα. Εκφερέτω] αἰρόμενος ἐκφέρεται ὁ Κλέων. τὸ δὲ ἑξῆς ἵνα ἴδωσιν αὐτὸν οἱ ξένοι οὓς ἐλωβᾶτο.

ΤΕΛΟΣ.